Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

IV. Qualiter Athanasius, occiso Georgio Alexandriam reversus, Ecclesiam suam recuperavit.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

πόλεως, ἀδελφικὴν ὑμῖν εὔνοιαν ἀποσώζω· A τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον, καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς, οὔποτε ἂν δήμου περιιδεῖν τόλμημα, μὴ καθάπερ νόσημα χαλεπὸν, πικροτέρῳ διακαθᾶραι φαρμάκῳ· προσφέρω δὲ ἐγὼ ὑμῖν, δι' ἅσπερ ἔναγχος ἔφην αἰτίας, τὸ προσηνέστατον, παραίνεσιν καὶ λόγους· ὑφ' ὧν εὖ οἶδ' ὅτι πείσεσθε μᾶλλον, ἤπερ ἐστὲ, καθάπερ ἀκούω, τότε ἀρχαῖον ἕλληνες, καὶ τὰ νῦν ἐπὶ τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς B ἐπιτηδεύμασιν ὁ χαρακτήρ· προτεθήτω τοῖς ἐμοῖς πολίταις ἀλεξανδρεῦσιν· τοιαῦτα μὲν οὖν ὁ βασιλεύς·

A stravit, fraternam erga vos charitatem conservo. Certe potestas quæ contemni se non patitur, & severus atque integer principatus, nunquam negligere solet ejusmodi populorum facinora, sed tanquam gravem morbum acerbiore medicamento purgare. Ego vero ab eas causas quas supra commemoravi, lenius vobis remedium adhibeo, sermonem scilicet & exhortationem. Quibus libentius, uti confido, parebitis: quippe qui & à prima origine, ut audio, Græci estis; & hujus nobilitatis illustrem & eximiam notam in vestris mentibus ac B studiis etiamnum retinetis. Proponatur civibus meis Alexandrinis. Atque hæc sunt ab Imperatore scripta.

## Κεφ. δʹ.

Ὡς γεωργίου ἀναιρεθέντος, ἀθανάσιος κατελθὼν εἰς τὴν ἐκκλησίαν, τῆς ἀλεξανδρείας ἐγκρατὴς ἐγένετο.

Οὐκ εἰς μακρὰν δὲ τῆς φυγῆς κατελθόντα ἀθανάσιον, ἀσμένως ὁ τῶν ἀλεξανδρέων λαὸς ἐδέξατο· ἐξώθησαν τότε ἐκ τῶν ἐκκλησιῶν τοὺς τοῦ ἀρειανοῦ δόγματος· C παραδιδόασι δὲ ἀθανασίῳ τοὺς εὐκτηρίους τόπους· οἱ δὲ ἀρειανίζοντες, ἐν οἰκίσκοις ἀσήμοις συναγόμενοι, εἰς τόπον γεωργίου λούκιον προχειρίζονται· ἐν τοιαύτῃ μὲν δὴ καταστάσει τὰ κατὰ τὴν ἀλεξάνδρειαν ἦν·

## Caput IV.

*Qualiter Athanasius occiso Georgio Alexandriam reversus, Ecclesiam suam recuperavit.*

Haud multo pòst, Athanasium ab exilio reversum Alexandrinus populus libenter suscepit; & Arianos quidem C Ecclesiis ejecit: Athanasio vero eas tradidit. Porro autem Ariani in ædibus quibusdam vilibus & obscuris conventus agentes, in locum Georgii Lucium quendam substituerunt. Et Alexandriæ quidem hic rerum status tunc temporis fuit.

## Κεφ. εʹ.

Περὶ λουκίφερος καὶ εὐσεβίου.

Ἐν δὲ δὴ τῷδε τῷ χρόνῳ λούκιφερ καὶ εὐσέβιος, προστάγματι τοῦ βασιλέως, τῆς ἐξορίας ἀνακέκληνται· λούκιφερ μὲν καράλων D ἐπίσκοπος, ἥ ἐστι πόλις Σαρδανίας· εὐσέβιος δὲ βρεκέλλων· πόλις δὲ αὕτη τῶν ἐν ἰταλίᾳ λιγύων, ὥς μοι καὶ πρότερον εἴρηται· ἄμφω οὖν τῶν ἄνω θηβῶν τῆς ἐξορίας ἐπανιόντες, συμβουλὴν ἐποιοῦντο, τίνα τρόπον τὸν τῆς ἐκκλησίας κανόνα διαφθειρόμενον μὴ παρίδωσιν·

## Cap. V.

*De Lucifero & Eusebio.*

Eodem tempore Lucifer & Eusebius, Imperatoris jussu ab exilio revocati sunt: quorum Lucifer quidem, D Caralis quæ urbs est Sardiniæ, erat Episcopus: Eusebius vero Vercellarum quæ civitas est Lygurum in Italia, ut etiam antea dixi. Ambo itaque ex superiori Thebaïde ab exilio redeuntes, consilium inter se inierunt, quonam modo Ecclesiasticis legibus subvenirent, nec eas violari impune paterentur.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN